**Certificazione della Lingua Greca – Sperimentazione Emilia Romagna 2019**

**Livello A**

## Miracolosa salvezza da un’eruzione vulcanica

ΥΠΟΘΕΣΙΣ

*Οἱ θεοὶ νεανίαν τινὰ καὶ τὸν πατέρα αὐτοῦ ἐκ τοῦ τῆς Αἴτνης πυρὸς σῴζουσι*

Λέγεται γοῦν ἐν Σικελίᾳ ἐκ τῆς Αἴτνης ποταμὸν πυρὸς γενέσθαι· τοῦτον δὲ ῥεῖν φασιν ἐπί τε τὴν ἄλλην χώραν, καὶ δὴ καὶ πρὸς πόλιν τινὰ τῶν ἐκεῖ κατοικουμένων. Τοὺς μὲν οὖν ἄλλους φυγεῖν ταχύ, τὴν αὑτῶν σωτηρίαν ζητοῦντας, ἕνα δέ τινα τῶν νεωτέρων, ὁρῶντα τὸν πατέρα πρεσβύτερον ὄντα καὶ οὐ δυνάμενον φεύγειν ἀλλὰ καταλαμβανόμενον, ἀράμενον φέρειν. Γενομένου δὲ τοῦ πατρὸς βαρέος, καὶ αὐτὸς ἐγκατελήφθη. Ὅθεν δὴ καὶ ἄξιον θεωρῆσαι ὅτι τὸ θεῖον τοῖς ἀνδράσι τοῖς ἀγαθοῖς εὐμενῶς ἔχει. Λέγεται γὰρ κύκλῳ τὸν τόπον ἐκεῖνον περιρρυῆναι τὸ πῦρ καὶ σωθῆναι τούτους μόνους, ἀφ᾽ ὧν καὶ τὸ χωρίον ἔτι καὶ νῦν προσαγορεύεσθαι “τῶν εὐσεβῶν χωρίον”· τοὺς δὲ ταχεῖαν τὴν φυγὴν ποιησαμένους καὶ τοὺς ἑαυτῶν γονέας καταλιπόντας ἅπαντας ἀπολέσθαι.

| | |
|---|---|
| ἀράμενον | αἴροντα τὸν πατέρα |
| Ὅθεν | Διὰ τοῦτο |
| τὸ θεῖον… εὐμενῶς ἔχει | τὸ θεῖον… εὔνουν ἐστίν |
| τὸν τόπον ἐκεῖνον περιρρυῆναι | κατέρχεσθαι περὶ τὸν τόπον ἐκεῖνον |

**1. Completa la parafrasi del testo, inserendo al posto giusto 8 parole scelte tra quelle di seguito elencate (puoi indicare anche solo il numero)**

Λέγουσι μῦθόν τινα περὶ τῆς Αἴτνης. Ἐπειδή ποτε ________________ πυρώδης ἐκ τοῦ ὄρους κατήρχετο καὶ μεγάλῃ ___________ χώρᾳ προσεχώρει, ____________ οἱ πολῖται ἐπείρων τὸν ἑαυτῶν βίον σῴζειν ἀποφεύγοντες πλὴν_________ τινος, ὃς τὸν ἑαυτοῦ πατέρα ἀποροῦντα ______________ καὶ ἐβούλετο αὐτῷ βοηθεῖν, αἴρων αὐτόν. Ὁ πυρὸς ποταμὸς μὲν κύκλῳ αὐτοῖν περιῆλθεν, ἀλλὰ δὲ θαυμαστῶς οὐκ ἀπώλεσεν. Τοῦτο δηλοῖ ὅτι οἱ θεοὶ _________________ ἀνθρώπους φυλάττουσί τε καὶ _________________· πάντες γὰρ οἱ ἄλλοι ἄνθρωποι, οἳ ἔφυγον καὶ ________________ τοὺς ἑαυτῶν γονέας, ὑπὸ τοῦ πυρὸς διεφθάρησαν. Μετὰ δὲ ταῦτα οἱ πολῖται ἐκεῖνον τὸν τόπον ἐκάλεσαν "τῶν εὐσεβῶν χωρίον".

| | | | |
|---|---|---|---|
| 1. πόλις | 2. πάντες | 3. σῴζουσιν | 4. κτείνουσι |
| 5. ἔλαβον | 6. εἶδε | 7. τῆς Ἑλλάδος | 8. τῆς Σικελίας |
| 9. ἔπραξε | 10. τοὺς ἀγαθοὺς | 11. ἀπέλιπον | 12. ὀλίγοι |
| 13. ποταμὸς | 14. γέρων | 15. τοὺς κακοὺς | 16. παιδός |

**2. Leggi le seguenti affermazioni riferite al testo e barra la risposta esatta: vero o falso**

1. Λέγουσι τὸ ἐκ τῆς Αἴτνης πῦρ πάσας τῆς Σικελίας πόλεις διαφθεῖραι.

VERO FALSO

2. Πάντες οἱ πολῖται ἔφευγον, τὴν σωτηρίαν ζητοῦντες.

VERO FALSO

3. Νεανίας τις, ὁρῶν τὸν πατέρα ἀποροῦντα, αὐτὸν κατέλιπεν.

VERO FALSO

4. Νεανίας τις ἦρε τὸν πατέρα καὶ συνέφερεν ἵνα αὐτὸν σῴζοι.

VERO FALSO

5. Τὸ πῦρ κατῆλθεν κύκλῳ περὶ τὸν νεανίαν καὶ τὸν πατέρα, ἀλλὰ οὗτοι μόνοι οὐκ ἀπέθανον. VERO FALSO

6. Ἐκ τούτων πραγμάτων οἱ ἄνθρωποι ἐκάλεσαν τοῦτον τὸν τόπον "τῶν εὐσεβῶν χωρίον". VERO FALSO

7. Λέγουσι τοὺς ἄλλους, οἳ ἑαυτῶν πατέρας καὶ μητέρας ἀπέλιπον, σωθῆναι.

VERO FALSO

8. Ὁ λόγος δηλοῖ ὅτι οἱ θεοὶ τιμῶσι τοὺς ἀνθρώπους τοὺς εὐσεβεῖς.

VERO FALSO

**3. Scegli la risposta esatta fra quelle proposte**

**1. Πόθεν κατήρχετο ὁ ποταμὸς πυρός;**

a) ἐκ τῆς Σικελίας

b) ἐκ τῆς Αἴτνης

c) ἐκ τῆς χώρας

d) ἐκ πόλεως τινός

**2. Τί ἐζητοῦντο οἱ πολῖται;**

a) τὸ πῦρ

b) τὴν ἑαυτῶν πόλιν

c) τὴν ἑαυτῶν σωτηρίαν

d) τοὺς ἑαυτῶν γονέας

**3. Διὰ τί ὁ τοῦ νεανίου πατὴρ οὐκ ἐδύνατο φεύγειν;**

a) ἐπεὶ ὁ τοῦ πυρὸς ποταμὸς ταχὺς ἦν

b) ἐπεὶ ὁ υἱὸς νεώτερος ἦν

c) ἐπεὶ πρέσβυς ἦν

d) ἐπεὶ ταχὺς ἦν

**4. Ὁ νεανίας...**

a) ἐγκατέλαβε τὸν ἑαυτοῦ πατέρα

b) εἶδε τὸν πατέρα φεύγοντα

c) εἶδε τὸν πατέρα ταχύν

d) ᾖρετο τὸν πατέρα

**5. Τίς κατελήφθη πυρί;**

a) ὁ νεανίας καὶ ὁ πατήρ

b) ὁ νεανίας

c) ὁ πατήρ

d) ὁ θεός

**6. Οἱ θεοὶ…**

a) τοῖς εὐσεβέσι ἀνδράσιν εὐμενεῖς εἰσιν

b) τοῖς ἀγαθοῖς ἀνδράσιν εὐσεβεῖς εἰσιν

c) τοῖς εὐμενέσι ἀνδράσι δυσσεβεῖς εἰσιν

d) τοῖς βαρέσι ἀνδράσιν δίκαιοί εἰσιν

**7. Τίς ἐσώθη;**

a) μόνοι οἱ πολῖται

b) μόνοι οἱ θεοί

c) μόνοι ὁ γέρων καὶ ὁ υἱός

d) μόνοι οἱ ταχεῖς ἄνδρες

**8. Τί ἔπαθον οἱ ἄλλοι πολῖται;**

a) πάντες ἀπέθανον

b) πάντες ἀπέφυγον

c) πάντες τοὺς γονέας ἔσωσαν

d) πάντες τὸ χωρίον ἐτιμῶντο

**4. Scegli la risposta esatta tra quelle proposte**

1. r. 1 Λέγεται introduce una proposizione:

a) dichiarativa
b) consecutiva
c) infinitiva
d) relativa

2. r. 2 τινά è:

a) aggettivo indefinito femminile singolare
b) aggettivo indefinito neutro plurale
c) aggettivo indefinito maschile plurale
d) aggettivo interrogativo neutro plurale

3. r. 4 ὁρῶντα ha valore di:

a) participio sostantivato
b) participio attributivo
c) genitivo assoluto
d) participio congiunto

4. r.6 Γενομένου è:

a) il participio aoristo genitivo singolare femminile di γίγνομαι
b) il participio aoristo genitivo singolare maschile di γεννάω
c) il participio aoristo genitivo singolare maschile di γίγνομαι
d) il participio presente genitivo singolare maschile di γεννάω

5. r. 7 ὅτι ha valore di:

a) congiunzione dichiarativa
b) nominativo neutro singolare del pronome ὅστις
c) nominativo femminile singolare del pronome ὅστις
d) congiunzione temporale

6. r. 9 ὤν è:

a) il nominativo singolare maschile del participio presente di εἰμί
b) il genitivo plurale maschile del participio presente di εἰμί
c) il genitivo plurale maschile del pronome relativo
d) avverbio

7. r. 10 ταχεῖαν ha funzione di:

a) aggettivo sostantivato
b) aggettivo predicativo dell’oggetto

c) aggettivo attributivo
d) accusativo di relazione

8. r. 11 ἀπολέσθαι è:
a) infinito aoristo medio di ἀπόλλυμι
b) infinito aoristo passivo di ἀπολύω
c) 3^ persona singolare aoristo ottativo attivo di ἀπολύω
d) nominativo plurale femminile di ἀπόλλυμι

**5. Inserisci nel nuovo contesto i verbi sottolineati, se necessario modificandoli**

1. (r. 1) Λέγεται γοῦν ἐν Σικελίᾳ ἐκ τῆς Αἴτνης ποταμὸν πυρὸς γενέσθαι.

Λέγουσιν ὅτι ἐν Σικελίᾳ ἐκ τῆς Αἴτνης ποταμὸς πυρὸς ________________.

2. (rr. 1-3) Τοῦτον δὲ ῥεῖν φασιν ἐπί τε τὴν ἄλλην χώραν, καὶ δὴ καὶ πρὸς πόλιν τινὰ τῶν ἐκεῖ κατοικουμένων.

Οὗτος δὲ _______________ λέγεται ἐπί τε τὴν ἄλλην χώραν, καὶ δὴ καὶ πρὸς πόλιν τινὰ τῶν ἐκεῖ κατοικουμένων.

3. (rr. 3-4) Τοὺς μὲν οὖν ἄλλους φυγεῖν ταχύ, τὴν αὐτῶν σωτηρίαν ζητοῦντας.

Οἱ μὲν οὖν ἄλλοι ἔφυγον ταχύ, ἵνα τὴν αὑτῶν σωτηρίαν ________________.

4. (r. 6) Γενομένου δὲ τοῦ πατρὸς βαρέος, καὶ αὐτὸς ἐγκατελήφθη.

Ἐπεὶ δὲ ὁ πατὴρ βαρὺς _______________ , καὶ αὐτὸς ἐγκατελήφθη.

5. (rr. 6-7) Ὅθεν δὴ καὶ ἄξιον θεωρῆσαι ὅτι τὸ θεῖον τοῖς ἀνδράσι τοῖς ἀγαθοῖς εὐμενῶς ἔχει.

Ὅθεν δὴ καὶ ἄξιόν ἐστι ἰδεῖν τὸ θεῖον τοῖς ἀνδράσι τοῖς ἀγαθοῖς εὐμενῶς _______________.

6. (rr. 7-8) Λέγεται… <u>σωθῆναι</u> τούτους μόνους.

Λέγουσιν ὡς _________________ οὗτοι μόνοι.

7. (r. 9) Τὸ χωρίον ἔτι καὶ νῦν <u>προσαγορεύεσθαι</u> "τῶν εὐσεβῶν χωρίον".

Τὸ χωρίον ἔτι καὶ νῦν οἱ πολῖται _________________ "τῶν εὐσεβῶν χωρίον".

8. (rr. 10-11) Τοὺς δὲ ταχεῖαν τὴν φυγὴν <u>ποιησαμένους</u>... ἅπαντας ἀπολέσθαι.

Οἳ δὲ ταχεῖαν τὴν φυγὴν _________________ ἅπαντες ἀπώλοντο.

**6. Inserisci le parole mancanti, flettendole adeguatamente, nel seguente brano, tratto da un breve racconto successivo dello stesso autore (solo per conseguire il livello A2):**

__________ Εὔμολπον τὸν Ποσειδῶνος καὶ Χιόνης μετὰ Θρᾳκῶν ἐλθεῖν <u>τῆς χώρας ταύτης ἀμφισβητοῦντα</u>, τυχεῖν δὲ κατ᾽ _________ τοὺς χρόνους βασιλεύοντα Ἐρεχθέα, γυναῖκα ἔχοντα Πραξιθέαν τὴν Κηφισοῦ θυγατέρα. Μεγάλου δὲ ____________ μέλλοντος αὐτοῖς <u>εἰσβάλλειν εἰς τὴν χώραν</u>, Ἐρεχθεὺς εἰς __________ ἰὼν _____________ τὸν θεὸν τί ποιῶν ἂν ______ λάβοι παρὰ τῶν πολεμίων. <u>Χρήσαντος</u> δὲ __________ θεοῦ κρατήσειν τῶν πολεμίων εἰ θύσειε τὴν θυγατέρα πρὸ τοῦ <u>συμβαλεῖν</u> τὼ στρατοπέδω, ὁ δὲ τῷ θεῷ ___________ τοῦτ᾽ ἔπραξε, καὶ τοὺς ἐπιστρατευομένους ἐκ τῆς χώρας ἐξέβαλε.

| | |
|---|---|
| ἐρωτάω | πείθομαι |
| Δελφοί, -ῶν | ἐκεῖνος |
| νίκη | λέγω |
| στρατόπεδον | ὁ βασιλεύς |

**Γλῶσσαι**

| | |
|---|---|
| <u>τῆς χώρας ταύτης ἀμφισβητοῦντα</u> | περὶ τῆς χώρας ταύτης πολεμοῦντα |
| <u>εἰσβάλλειν</u> <u>εἰς τὴν χώραν</u> | στρατεύεσθαι πρὸς τὴν χώραν |
| <u>Χρήσαντος</u> | Ἀγγείλαντος |
| <u>κρατήσειν</u> | νικήσειν |
| <u>συμβαλεῖν</u> | μάχεσθαι |